ἀστραπῆς δρόμος οὐχ ἱσταμένης. **28.** Ποῦ δὲ καὶ τὸ ψηλαφη-
θῆναι αὐτὸν μετὰ τὴν ἀνάστασιν[o] ἢ ὀφθήσεσθαί ποτε ὑπὸ
τῶν ἐκκεντησάντων[p]; Θεότης γὰρ καθ' ἑαυτὴν ἀόρατος.
**29.** 'Αλλ' ἥξει μὲν μετὰ τοῦ σώματος, ὡς ὁ ἐμὸς λόγος,
B τοιοῦτος δὲ οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει[q] ἢ παρε-
δείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος. Ὥσπερ
δὲ ταῦτα λέγομεν ἀποσκευαζόμενοι τὴν ὑπόνοιαν, οὕτω
κἀκεῖνα γράφομεν διορθούμενοι τὴν καινοτομίαν.

**30.** Εἴ τις λέγοι τὴν σάρκα ἐξ οὐρανοῦ κατεληλυθέναι,
ἀλλὰ μὴ ἐντεῦθεν εἶναι καὶ παρ' ἡμῶν, « ἀνάθεμα ἔστω[r] ».
Τὸ γὰρ « Ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ[s] », καὶ « Οἷος
ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι[t] », καὶ « Οὐδεὶς
ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς
C ὁ Υἱὸς τοῦ ἀνθρώπου[u] », καὶ εἴ τι ἄλλο τοιοῦτον, νομιστέον
λέγεσθαι διὰ τὴν πρὸς τὸν οὐράνιον ἕνωσιν, **31.** ὥσπερ καὶ
τὸ « διὰ Χριστοῦ γεγονέναι τὰ πάντα[v] » καὶ « κατοικεῖν
Χριστὸν ἐν ταῖς καρδίαις ἡμῶν[w] », οὐ κατὰ τὸ φαινόμενον
τοῦ Θεοῦ, ἀλλὰ κατὰ τὸ νοούμενον, κιρναμένων ὥσπερ τῶν
φύσεων, οὕτω δὴ καὶ τῶν κλήσεων καὶ περιχωρουσῶν εἰς
ἀλλήλας τῷ λόγῳ τῆς συμφυΐας.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417091850/16 UNIVERSITÄT LEIPZIG